,, κακῶν. Νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.
παι παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,
τί πρὸς πύλαισι τήνδ' ἄγουσ' ἐρημίαν.
ἕστηκας, αὐτὴ θρεομένη σαυτῇ κακά;
πῶς σοῦ μόνη Μήδεια λείπεσθαι θέλει;
τρο τέκνων ὀπαδὲ πρέσβυ τοῦ Ἰάσονος,
,, Χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
,, Κακῶς πιτνοῦντα, καὶ φρενῶν ἀνθάπτεται.
ἐγὼ γὰρ εἰς τοῦτ' ἐκβέβηκ' ἀλγηδόνος,
ὥσθ' ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ
λέξαι, μολούσῃ δεῦρο, Μηδείας τύχας.
παι οὔπω γὰρ ἡ τάλαινα παύεται γόων;
τρο ζηλῶ σ' · ἐν ἀρχῇ πῆμα, κοὐδέπω μεσοῖ.
παι ὦ μῶρος, εἰ χρὴ δεσπότας εἰπεῖν τόδε.
ὡς οὐδὲν οἶδε τῶν νεωτέρων κακῶν.
τρο τί δ' ἔστιν ὦ γεραιέ; μὴ φθόνει φράσαι.
παι οὐδέν. μετέγνων καὶ τὰ πρόσθ' εἰρημένα.
τρο. μὴ πρὸς γενείου κρύπτε σύνδουλον σέθεν.
σιγὴν γὰρ, εἰ χρὴ, τῶνδε θήσομαι πέρι.
παι ἤκουσά του λέγοντος, οὐ δοκῶν κλύειν,
πεσσοὺς προσελθὼν, ἔνθα δὴ παλαίτατοι
θάσσουσι, σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ.
ὡς τούσδε παῖδας γῆς ἐλᾶν Κορινθίας
σὺν μητρὶ μέλλοι τῆσδε κοίρανος χθονὸς
Κρέων. ὁ μέν τοι μῦθος, εἰ σαφὴς ὅδε,
οὐκ οἶδα. βουλοίμην δ' ἂν οὐκ εἶναι τόδε.
τρο. καὶ ταῦτ' Ἰάσων παῖδας ἐξανέξεται

πάσχοντας